A

## ΣΤΡΟΦΗ ΕΤΕΡΑ κώλων έ.

Χο. Ηρά ποτ᾽ ὀλυμπία
Τῶν ἠλιβάτων θρόνων
Ἄρχοντα θεοῖς μέγαν
Μοῖραι ξυνεκόμισαν
Ἐν τοιῷδ᾽ ὑμεναίῳ.

## Versio altera membrorum quinque.

CH. Iuno quondam cælestis
Altarum sedium,
B Dominantem deis magnum
Parcæ comportauerunt
In his nuptijs.

Σχόλια. Ηρά ποτ᾽ ὀλυμπία.] τὰ τοιαῦτα ἤδη καλεῖται τελικὰς ἐπῳδικὴ καὶ εἰσὶ τῆς μὲν στροφῆς τὰ κῶλα έ, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. εἰσὶ δὲ πάντα ἰωνικὰ ἀπὸ μείζονος ἑφθημιμερῆ παντοίοις σύμμικτα ποσί. τῆς δ᾽ ἐπῳδοῦ κῶλα ς ἀναπαιστικὰ δίμετρα πλὴν τοῦ τελευταίου ἀκατάληκτα. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς καὶ ἀντιστροφῆς παράγραφος, τῆς δὲ ἐπῳδῆς κορωνίς.

## ΑΝΤΙΣΤΡΟΦΗ κώλων έ.

C

Ὁ δ᾽ ἀμφιθαλὴς Ἔρως
Χρυσόπτερος ἡνίας
Εὔθυνε παλιντόνους,
Ζηνὸς πάροχος γάμων.
Τῆς τ᾽ εὐδαίμονος Ἥρας.

## Inversio membrorum quinque.

Hic circum pullulans amor,
Auro alatus habenas
Dirige retrò extensas,
Iouis præbitor nuptiarum,
Huius felicis Iunonis.

Σχόλια. Ὁ δ᾽ ἀμφιθαλὴς.] ἀμφοτέροις τοῖς γονεῦσι θάλλων. καὶ μηδενὸς ὀρφανισμένος. ἄλλως. ὁ ἔρως φησὶ, παράνυμφος ἦν τοῦ Διὸς καὶ τῆς Ἥρας. πάρο-

D

χοι γὰρ λέγονται, οἱ παράνυμφοι, παρὰ τὸ παρέχεσθαι τοῖς νυμφίοις. ἐπ᾽ ὀχήματος γὰρ τὰς νύμφας ἄγουσιν.

## ΕΠΩΔΗ κώλων ς΄.

Ὑμὴν ὦ ὑμέναι᾽, ὦ ὑμήν.
Πει. Ἐχάρην ὕμνοις. ἐχάρην ᾠδαῖς.
Ἀγαμαι δὲ λόγων. ἄγε νῦν αὐτοῦ
Καὶ τὰς χθονίας κλήσατε βροντὰς.
Τάς τε πυρώδεις Διὸς ἀστεροπάς.
Δεινόν τ᾽ ἀργῆτα κεραυνόν.

## Incantatio membrorum sex.

E

PI. Hymen ô hymenæe, ô hymen,
Gaudebam laudibus, gaudebam cantibus,
Gaudeo autem sermonibus. age nunc ipsius
Et cœlestia vocate tonitrua,
Hæc ignea Iouis fulgura,
Graueque albumque fulmen,

Σχόλια. Ὑμὴν ὦ ὑμέναι᾽, ὦ.] ἦδε τοῦτο ἐν τοῖς γάμοις. εἴρηται δὲ τοῦτο, ἐν τοῖς Μενανδρείοις.

F

Bisetvs. Εὐστάθιος. Ὑμέναιος, γαμήλιος ᾠδή. γίνεται ἡ λέξις ἢ παρὰ τὸ ὑμνεῖν, οἱονεὶ ὕμναιός τις. ἢ παρὰ τὸ ὁμοῦ ναίειν τοὺς νυμφίους, οἱονεὶ ὁμόναιος. ἢ παρὰ τὸν παρθένειον ὑμένα. ἔστι δὲ ὑμὴν, ὑμένος, τὸ λεπτότατον δέρμα, οὗ χρῆσις καὶ παρὰ τῷ Δειπνοσοφιστῇ ἐν τῷ ἐξήλαυνόν τινες τὸν ἄργυρον εἰς ὑμένος ἰδέαν, ἤγουν ἄγαν ἐλαύνοντες, λεπτότατον ἐποίουν ὑμένος δίκην. Ἄλλως. ὑμέναιος ἀπὸ Ὑμεναίου νεανίου τινὸς Ἀργείου, ὃς περιπλέων εἰς Ἀθήνας ἔπαυσε βίαν, ἣν λησταὶ Πελασγοὶ ἐπῆγον παρθένοις Ἀττικαῖς, αἳ γάμῳ νομίμῳ ὕστερον ἐκδοθεῖσαι, ᾠδὴν ᾖσαν ἐπ᾽ αὐτῷ, ἣν ὁμωνύμως ἐκάλουν ὑμέναιον. καὶ ἐξ αὐτοῦ πᾶς ὁ ἐν γάμῳ ὕμνος, ὑμέναιος ἐκαλεῖτο. ἕτεροι δὲ περὶ καλλή τινα νεανίαν ἱστοροῦσιν Ὑμέναιον πρὸ ὥρας θανόντα, καὶ εἶναί τινα λόγον αὐτοῦ ἐν τοῖς γάμοις, ὃν καλεῖσθαι ὑμέναιον.

Σχόλια. Καὶ τὰς χθονίας κλήσατε.] Εὐφρόνιος τὰς φοβεράς. πάντα γὰρ τὰ δεινὰ γῆς γενεαλογοῦσιν, οἱ δὲ τὰς μέγαν ἦχον ἀποτελούσας. ἢ τὰς ἀπὸ τῆς γῆς γινομένας. ὅτε γὰρ ἠχεῖ ἡ γῆ, ἀναπέμπει τὸν ἦχον εἰς τὸν οὐρανὸν, καὶ δοκοῦσιν οἱ ἄνθρωποι ἐξ οὐρανοῦ γίνεσθαι τὰς τοιαύτας βροντὰς, ἢ τὰς μέχρι γῆς ἀκουομένας, ἢ τὰς τὴν γῆν κινούσας.

Bisetvs. Βροντὴ δὲ κατὰ Σουΐδαν, νεφῶν ψόφος ἐκ παρατρίψεως, ἢ ῥήξεως. Διὸς ἀστεροπὰς] ἀστεροπὴ, καὶ κατὰ συγκοπὴν ἀστραπή. τὴν δὲ τὴν λέξιν Ἀριστοτέλης ἐν τῷ περὶ κόσμου οὕτως ἑρμηνεύει. κατὰ δὲ τὴν τοῦ

G

νέφους ἔκρηξιν, πυρωθὲν τὸ πνεῦμα, καὶ λάμψαν ἀστραπὴ λέγεται. Ἀργῆτα κεραυνόν] τουτέστι λαμπρὸν, ἢ ταχὺν, καὶ κλίνεται ἀργὴς, ἧτος. Ἄργης δὲ παροξύτονον, ὄνομα κύριον, εἷς τῶν Κυκλώπων ὁ σκευάζων τοὺς κεραυνοὺς τῷ Διῒ μυθευόμενος, καὶ ἄργης ὁ ὄφις κατὰ γλῶσσαν. ὅθεν ἀργειφόντης κατά τινας, ὁ ὀφιοκτόνος.